# Ein Proömium zu einem Chrysobull von Demetrios Kydones.

Zachariae von Lingenthal hat in den Sitzungsberichten der königlich preufsischen Akademie der Wissenschaften (1888, S. 1409 ff.) zwei Proömien zu Chrysobullen von Demetrios Kydones aus einer dem verstorbenen Prof. Rhallis zu Athen gehörenden Handschrift veröffentlicht und historisch erläutert und dazu noch ein drittes analysiert. Verschieden von diesen drei Proömien ist das hier unten mitgeteilte, welches ich 1876 aus dem Cod. Burn. 75 im British Museum (f. 291 v) abgeschrieben habe. Es ist eine recht dicht geschriebene Handschrift des 15. Jahrhunderts, welche *ρπγ′* Briefe des Kydones enthält. Das mit abgeschriebene Proömium trägt die Nummer *ρξε′*. Leider ist aus dem Texte nicht zu erkennen, von welchem Kaiser das Chrysobull erlassen war. Wahrscheinlich war es Johannes Paläologos. Ebenso wird der Gegenstand des kaiserlichen Erlasses nicht ausdrücklich erwähnt. Aus dem Inhalt des Proömiums darf man schliefsen, das Chrysobull habe sich auf irgendwelche Pflichten bezogen, welche den Eltern ihren Kindern gegenüber auferlegt wurden.

Ich lasse den Text folgen:

*ρξε′. Προοίμιον χρυσοβούλλου.*

*Τῶν πρὸς τὴν φύσιν χρεῶν οὐδὲν οὔτε δικαιότερον οὔτε ἀναγκαιότερον· ἐπεὶ καὶ πρεσβυτάτη μὲν πάντων ἡ φύσις οἷον κοινή τις οὖσα ἑστία τε καὶ τροφὸς, πάντα δὲ ὥςπερ τινὰ θεμέλιον ταύτην προϋποτίθησιν, καὶ δεῖται μὲν αὐτῆς εἰ μέλλοι καὶ ὁπωςοῦν εἶναι καὶ σώζεσθαι, πάντα δὲ τῇ ταύτης φθορᾷ συναπόλλυται καὶ ὄντως ἥδ' ἔστιν ἡ πάντα συνέχουσα καὶ πρὸς τὸ μὴ ὂν ἐκπεσεῖν οὐκ ἐῶσα, γέρας παρὰ τοῦ πάντων δημιουργοῦ καὶ πατρὸς εὐθὺς γενομένη τοῦτο λαβοῦσα, πάντων εἶναι μήτηρ κοινὴ καὶ τὰ μετ' αὐτὴν σώζειν τε καὶ τηρεῖν κατὰ τοὺς ἐκείνου δεσμούς. Πάντων δὲ ὅμως τῶν κατ' αὐτὴν ἀγαθῶν τε ὄντων καὶ ἀναγκαίων καὶ τί γὰρ ἄλλο ἢ κατὰ φύσιν ὑπαρχόντων καὶ τὴν ἐκείνης σωζόντων ἐπωνυμίαν, βέλτιστόν τε ἅμα καὶ μέγιστον καὶ ἀναγκαιότατόν ἐστι τὸ περὶ τὴν γένεσιν καὶ τὴν συνεχῆ τῶν τέκνων διαδοχήν. Ἐνταῦθα γὰρ μάλιστ' ἄν τις κατίδοι καὶ τὸ τοῦ δημιουργοῦ*

1 ἀνακαιότερον   3 ὥσπέρ τινα   8 εἶναι   τὲ (item p. 340, 13. 15)



Brought to you by | Universitaet Giessen
Authenticated
Download Date | 5/29/15 6:49 PM

*σοφὸν καὶ τῆς φύσεως διαρκὲς καὶ ὅπως οὐσίαν μὲν τῇ γενέσει, ταὐτότητα δὲ τοῖς ἐξηλλαγμένοις, στάσιν δὲ τοῖς ἀεικινήτοις, αἰῶνα δὲ τοῖς μηδέποτε οὖσιν ἐμηχανήσατο. Πάλαι γὰρ ἦν ἅπαντα φροῦδα, μὴ τῆς φύσεως τῇ γενέσει τὸ συνεχῶς ὑπορρέον ἀναπληρούσης· νῦν δὲ διὰ ταύτην τὴν ἀμήχανον μηχανὴν οὐδέποτε μὲν ἔστιν ἄνθρωπος, ἀεὶ δέ ἐστιν οὗτος αὐτὸς, καὶ ζῷα δὴ καὶ φυτὰ καὶ θάλαττα καὶ ἀὴρ καὶ συλλήβδην ὅσα τὸν κόσμον τοῦτον πληροῖ. Καὶ διὰ ταύτην ζῶμεν μὲν ἐν τοῖς τέκνοις οἱ πατέρες ἡμεῖς, κἀκεῖνα δὲ τοῖς ἐξ αὐτῶν μεταδίδωσιν ἧς παρ' ἡμῶν μετέσχον οὐσίας, καὶ τοῦτ' εἰς ἀπέραντον, ἕως ἂν τὸν δρόμον ἡ τοῦ δημιουργοῦ βούλησις στήσῃ· οὗ πέρας ἡ πρὸς τὸ ἀθάνατον φύσει τῶν ἀποθνησκόντων ὁμοίωσις καὶ ἡ ἐν τῷ ὄντι στάσις τῶν ἀεὶ γινομένων. Καὶ πρὸς τοῦτ' ἀφορᾷ καὶ ἡ περὶ τὰ τέκνα τῶν τεκόντων γινομένη φιλία τε καὶ συμπάθεια καὶ ἡ περὶ ταῦτα πρόνοια καὶ φροντὶς καὶ αὖ ἐκείνων ἡ πρὸς τοὺς γονέας ἐπιστροφὴ ὥςπερ εἰς αἰτίους τε καὶ σωτῆρας· καὶ ὅλων τούτων δεσμοί τινες ἄρρηκτοι πρὸς ἀλλήλους εἰσὶν, οὐχ Ἡφαίστου τούτους, ὡς ὁ μῦθος, χαλκεύοντος, ἀλλὰ τῆς φύσεως ἀλλήλοις συναπτούσης ἃ πέφυκε σώζεσθαι. Ὥςτε τὴν περὶ τὰ τέκνα φροντίδα πᾶς τις ἂν εἴποι τῇ φύσει παρὰ τῶν γονέων ὀφείλεσθαι, εἴπερ ἐκείνη μὲν βούλεται ταῦτα τηρεῖν, ἐκεῖνα δ' οὐκ ἂν ἐσώθη, παρὰ τῶν ὀφειλόντων προνοεῖν ἀμελούμενα. Εἰ δὲ τὰ χρέα ταῦτα τῇ φύσει καὶ παρὰ τῶν ἀλόγων ἐκτίνεται, πῶς εἰκὸς περὶ ταῦτα τὸν ἄνθρωπον ἀχάριστον γίνεσθαι, ἄλλως τε καὶ λόγῳ μόνον τῶν ἄλλων κεκοσμημένον καὶ τοῦτ' ἐν αὐτῷ τῆς φύσεως κρεῖττον ἔχοντα καὶ θειότερον; Μηδεὶς τοίνυν ἀδικείτω τὴν φύσιν ἐν τοῖς υἱέσι, μᾶλλον δὲ μηδεὶς ἐν τῇ περὶ τούτους ἀμελείᾳ τὸν τῆς φύσεως δημιουργὸν παραλογιζέσθω. Ἐκείνου γὰρ βούλησις ἅπερ αὕτη νομοθετεῖ, πρῶτον μὲν ὅτι τῶν παιδίων τις καταφρονῶν καὶ τὸν θεὸν ἀτιμάζει, τὴν πρὸς ἐκεῖνον ἀρνούμενος πίστιν καὶ χείρω τῶν ἀπίστων εἶναι τὸ λόγιον ἀποφαίνεται· ἔπειτα καὶ τοῖς τῆς κοινοτάτης φύσεως νόμοις ἐναντιοῦται, τὴν τῶν γινομένων σωτηρίαν τὸ καθ' αὑτὸν ἀναιρῶν· χωρὶς δὲ τούτων καὶ ἑαυτῷ πολεμῶν οὐκ αἰσθάνεται, ἑαυτὸν μετὰ τοῦ παιδὸς ἐξαλείφων καὶ θνήσκων εἰς τὸν ἅπαντα χρόνον.*

Athen. **Spyr. P. Lambros.**

---

1 ταυτότητα 12 ᾀεὶ 21 ἐκτείνεται 22 ἄλλωςε 27 τίς

Brought to you by | Universitaet Giessen
Authenticated
Download Date | 5/29/15 6:49 PM